

1
7
408









492

Leonis Allatii carmen graecum in laudem Urbani VIII. S: P:

b

ΟΥΡΒΑΝΟΥ

ΤΟΥ ΤΡΙΣΜΕΓΙΣΤΟΥ

ΑΚΡΟΥ ΑΡΧΙΕΡΕΩΣ

ΑΝΔΡΙΑΣ.

ΟΥΡΒΑΝΟΥ,

Τοῦ Τρισμεγίστου Ἄκρου Ἀρχιερέως

ΑΝΔΡΙΑΣ.



Τί μοι ποικιλῶν χρωμάτων κύφειν κόνιν
Αἰσχροῖς ἐλαίοις, κἀπολυμαίνει τὸ πᾶν;
Τί δ' ἐν λίνοισι, κλωσί τ' ἀθρύπτοις πόνον
Ἄκραντα μοχθεῖς εἰκάσ' ΟΥΡΒΑΝΟΝ, Γραφεῦ;
Τί τοῖς σμικροῖσιν εἰκονίζει τὸν ΜΕΓΑΝ;
Ἄπελθ', ἄπελθε συνδρόμους ἔχων, ἴδρις.
Ἥφαιστος οὓς τέτευχε, καὶ Παλλὰς φίλη.
Ἢ δ' εἴτις ἐστὶν ἄλλος εὔχειρος φρένας.
Λιπὼν δὲ λυπρὰς, ταῖσιν ἐνναίεις, γύας
Τηλουρὸν ὅρμα χῶρον, εὔεργον δ' ὅμως.
Πακτωλὸς, Ἕρμος, σὺν πολυχρύσῳ Τάγῳ
Δώσουσ' ἑκόντες ἀφνεὸν χρυσοῦ γέρας
Εἰς χεῖρας αὐτὰς, ἀργύρου θ' ἅλις γ. οὐδέ σοι

Ταῦτ' οὐκ ἀρεστὰ, πρός τε Ἴβηρον ἤτ' Ἴονα
Δοκεῖ, ἑῴαν, πρὸς δέ θ' ἕσπερον πλάκα,
Αὐτήν τε βάθει πέζαν εἰς ἀντίζυγον,
Ἔνθ' εὐφορήσεις ἅσσ' ἂν ἐπιποθεῖ κέαρ.
Χρυσοῦ δὲ βρείθων, ἀργύρου τ' αἰνῷ βάρει,
Χαλκοῦ τι πρόσθες, καὶ σιδήρου, τοῖς δ' ἔπι
Χάλυβα τίθει. μὴ κασσίτερον, μή μοι φόρει
Μόλιβδον ἄλλως. οὐ γὰρ ἀβληχρῶν δέει.
Θημῶνα δ' ὄλβων ἐν σκότῳ κεκρυμμένων
Εὔρινος ὥς τις φρασμόνως θηρώμενος,
Εἴπου τί καλὸν ἐστι, πόμπιμον φέρε.
Λευκόν τ' ἄγοις ἐλέφαντα, μὴ δ' ἀμνημόνει
Ἀδάμαντος ἀρρήκτοιο ῥαιστήρων βολαῖς.
Τούτοις κορύσσων σ' ὀρθοβούλοις μηχαναῖς
Ἄγειρέ μοι ξύμπαντας ἄνδρας δαΐους,
Φράδαις ἀείσαις χεῖρα νωμῶντας, ὅσους
Γηραιὸς Ἑλλὰς, Αὐσονίς τ' ἠγάσατο
Ἄπιστά τ' οὐδὲ ῥητά τ' ἐξειργασμένους.
Κηλέῳ δ' ἔπειτα ταῦτα προσβαλὼν πυρὶ,
ῥύ-

Ῥύπον καθήρας, καὶ διασμήξας χνόον
Λουτροῖς φλογωποῖς χώνευσον, ἀλλ' ἔνθου νόῳ,
Μήπως μικρόν μοι, ἠδ' ὑπόψιον βρέτας
Ἐξεικονίσῃς. ΟΥΡΒΑΝΟΝ μορφοῖς ΜΕΓΑΝ.
Σοὶ γοῦν κολοσσός ἐστιν ἐξεικαστέος,
Ὧν πώποτ' εἶδεν οὖδας, ἐμπρεπέστατος.
Καὶ δὴ θέορτον τεῦξον ἐκ χρυσοῦ κέαρ.
Γλώσσας προσηνεῖς, καὶ φερέσβιον βλέπος
Ἐξ ἀργύρου τέκτηνον, ἐκ χαλκοῦ χέρας,
Ὤμους τ' ἀκαμπεῖς, κ' εὐσθενεῖς βραχίονας.
Ἐκ δ' ἀδάμαντος στῆθος ἄπληκτον φόβῳ.
Πόδας σιδήρῳ πλάττε μοι πεπηγότας,
Καὶ ταρσὸν οὐ ῥέοντα μορφούτω χάλυψ.
Τὰ δ' ἄλλ' ἐλέφας ὡς λυμάτων ὑπέρτερα.
Τόσον κολοσσὸν πανσόφως τετυγμένον
Ὡς ἐν θεάτρῳ παντὶ τῷ δέρκειν μέθες.
Πῆξον δὲ ταρσὰ, τὸ μὲν ἐν γῇ, τὸν δ' ἔα
Πρὸς οἶδμα πόντου σιύτονον παλιρρόθου.
Πόντου γὰρ ἐστι, γῆς τε πρυμνήτης ἄναξ.

Ἤπλω-

Ἡπλωμένας δὲ πᾶσι χεῖρας τεινέτω,
Αὔτως διδέσας ἆθλον ὡς ἐλευθέρους,
Κειμηλίων τε κρέσσονας πολυλλίτων.
Τὴν μὲν πόλεν φαίνουσαν, ἄλλην δ᾽ αὖ χθόνα.
Ὃ γὰρ βαλεῖ δεσμοῖσιν, ἢ δεσμῶν λύσει,
Πέδῳ, πόλῳ τε δέσμιον, ἄλυτόν τ᾽ ἀεὶ
Ἐασεῖτ᾽ ἀφύκτοις ἄρκυσιν ἠναγκασμένον.
Πάντῃ δ᾽ ἐκεῖθεν ἐνθάδ᾽ ὀμμάτων κόρας
Διαφερέτω, λέπαδνα συνεχὲς βροτῶν
Χρυσοῦς σκοπεύσας, ἐν κακοῖς τ᾽ ἐπιρρόθους.
Κόρας δι᾽ ὧν Ὄλυμπος ἔνθεον χάριν
Καρδίαισιν ἐγχεῖ, καὶ μεταλλάξας γνόφον
Γάλακτι λευκῷ πενθίμους ἴσας τηρεῖ,
Ἐσθῆτι φαιδρᾷ λαμπρὸν ἀμπίσχων φάος.
Κόρας δοκεύειν, καὶ θεοῦ βουλευμάτων
Ἔγγιστ᾽ ἀφῖχθαι, καὶ τὰ σημαίνειν τορῶς
Θνητοῖσι χωρὶς τῶν πεφυκυίας πόνων.
Κόραισι τῶν δὲ μακρὸν ἐξενωμένα
Κεῖνος ἐλᾷ δεθέντα παγκοίνοις πέδαις.

Παρ

Πὰρ ποσὶ δὲ κείσθωσαν ἑσμὸς μυρίος
Ἀνδρῶν, γυναικῶν, πρέσβεων, νεωτέρων,
Θητῶν, ἀνάκτων, ἱστόρων, ἀπειράτων,
Ἄγχιστ', ἄπωθεν, διπλόους πόλους, μέσην,
Εἴτ' οὖν πρὸς ἠῶ, ἢ κνέφας γ' ᾠκημένων,
Οἳ γουνάτων πίπτοντες ΟΥΡΒΑΝΟΥ πάρος,
Δεδοικότες τίουσι θεῖον ὡς ΜΕΓΑΝ,
Ἐξ οὗ τὰ φρικτὰ βλαστάνει μυστήρια
Νόμου πατρῴου, πίστεώς τ' ἀκηράτου.
Κύδει δὲ καὶ γέρασι κύκλωσον τρίχα,
Πλέξον πέρι δ' ἀστερότευκτον ἁρμόσας στέφος.
Ὅσον γὰρ ἐξέχοντι κρατὶ γηΐνων
Ἐν γῇ τι τέμνειν ἴσον οὐκ εὐμήχανον.
Φρένιν δὲ λοιπὸν, καὶ θεηγόρους λόγους,
Βουλὰς, πρόνοιαν, τῇ σου οἰκοῦνται πόλεις,
Εὖ ψυχέων οἴηκες ὀρθοῦνται βροτοῖς,
Σαῖς μηχαναῖς μόρφωσον, εἰ σθένος πάρα,
Ὕλαις δὲ ποίαις, ἢ πόθεν λαβὼν κάμοις;
Ἄπεστ' Ὄλυμπος, χεὶρ δὲ καὶ τέχνη βραχεῖς.
Σὺ

Σὺ δ' αὖ τί πλεῖστα τόξον ἐκτείνεις πέρα
Καιροῦ; ἄφυκτα σχέτλιος θηρᾷ μάτην,
Σιγᾷν ἄμεινον γλῶσσα, καὶ σιγῇ σέβειν,
Τὸν καὶ Πόλου δρηστῆρες, οἵ τ' ἐν γῇ κάτω
Ἔκπαγλα θαυμαίνουσι, καὶ σιγῇ γόνυ
Κάμπτοντες ὀλβίζουσι σιγῇ τὸν ΜΕΓΑΝ.

ΛΕΩΝ Ο ΑΛΛΑΤΙΟΣ
Ἐποίει.



ROMAE, Apud Mascardum, MDCXL.

SVPERIORVM PERMISSV.